# AKROPOLIS WORLD NEWS

**www.akwn.net**

J. Coderch

**Twenty-first Year**

**(August 2022 - June 2023)**

Nothing special to comment about this year; I have gone on with the tendency of shorter but more frequent news, as suggested by the readers. Maybe the only remarkable detail is that during Christmas I went on updating the website, usually this depends on the possibility of using my computer during the no-teaching periods.

## ΗΑΠ

**27 Αὐγούστου 2022**




Ἡ Καλιφορνία ἐγένετο προχθὲς ἡ πρώτη τῶν ΗΑΠ ἐπαρχία ἣ τὴν πρᾶσιν τὴν αὐτοκινήτων πετρελαίῳ χρωμένων συστέλλει, ἀπὸ γὰρ τοῦ 2035ου ἔτους ἀπερεῖ μὲν τοιαῦτα αὐτοκίνητα πωλεῖν, δεήσει δὲ πάντα τὰ νέα αὐτοκίνητα εἴτε ἠλεκτρικὰ εἴτε ὑβρίδια εἶναι· τούτῳ δὴ τῷ νόμῳ πειρῶσι τὴν διοξειδίου τοῦ ἄνθρακος ἐκπομπὴν τὰς δύο ἐπιγιγνομένας δεκάδας μειοῦν. κατὰ τοὺς τούτῳ τῷ νόμῳ ἐπικουροῦντας τοῦτο μεγίστη μεταβολὴ τῶν αὐτοκινητικῶν ἐπιχειρήσεων γενήσεται, ἡ γὰρ Καλιφορνία θαυμαστὸν αὐτοκινήτων πωλητήριόν ἐστιν, παραδείγματος ἕνεκα νῦν εἴκοσι καὶ ἐννέα ἑκατομμύρια αὐτοκινήτων ἐγγεγραμμένα ἐστίν.

ὅμως δὲ λέγουσι πολλοὶ ὅτι οἱ νόμοι εἰς τοσοῦτον τηλέπορον μέλλοντα χρόνον τεθέντες ἄχρηστοί εἰσιν, οὐδεὶς δὲ οἶδε πότερον οὗτος ὁ νόμος ἀληθῶς κυρωθήσεται ἢ οὔ, τοῦ γὰρ κόσμου οὕτω ταχέως μεταβαλλομένου ἡ τῷ 2035ῳ ἔτει κατάστασις τοσοῦτο διάφορος τῆς νῦν ἔσται ὥστε οὗτος ὁ νόμος οὐδὲν τότε σημανεῖ.

## Οὐκραίνα

**30 Αὐγούστου 2022**



Τὸ τῆς Οὐκραίνας στράτευμα προσβολὴν ἐν τῇ τῆς χώρας μεσημβρίᾳ ποιησάμενον ἠνάγκασε τὸ Ῥωσικὸν στράρευμα ἀναχωρεῖν (καὶ εἰ οὐ μακράν), ἡ γὰρ Οὐκραίνα πειρᾷ νῦν τὴν Χερσὸν

ἐπαρχίαν αὖθις ἀναλαβεῖν. Ἡ Οὐκραινὴ φερέφωνος Humenyuk εἶπε τοῖς ἐκεῖ πολίταις ὅτι ἐὰν ἐξελθεῖν μὴ ἐξῇ ἐκ τῶν πόλεων οὗ ἴσως μαχὴ γενήσεται δεήσει αὐτοὺς καταφυγήν τινα εὑρεῖν.

νῦν δὲ ὁ μέγιστος κίνδυνος ἐν τῷ πυρηνικῷ ἐργοστασίῳ Zaporiyia κεῖται· ἥ τε Ῥωσία καὶ ἡ Οὐκραίνα ἀλλήλας αἰτιῶνται τοῦ πυρηνικοῦ κινδύνου.

## Ῥωσία

**31 Αὐγούστου 2022**



ὁ Μιχαῖλ Γορβαζιόβ, ὁ ἀνὴρ ὃς τὴν οὕτω καλουμένην perestroika εἰς τὴν Ῥωσίαν εἰσήνεγκεν, ἀπέθανε χθὲς ἐνενήκοντα ἓν ἔτη γεγονώς.

ὁ Γ., ἄρχων τῆς USSR τῷ 1985ῳ ἔτει γενόμενος, ἀρχιτέκτων ἐγένετο τῶν μεταβολῶν αἳ τῇ τῆς Ῥωσίας ἀρχῇ τέλος ἔθεσαν (ἡ γὰρ USSR κατελύθη) καὶ τῷ "Ψυχρῷ Πολέμῳ." τῷ μὲν 1991ῳ ἔτει τῆς ἀρχῆς ἐξέστη. διὰ δὲ πάντα ἃ ἐποίησεν οἱ μὲν τὴν ἀρχὴν διαμένειν βουλόμενοι μισοῦσιν αὐτόν, οἱ δὲ τέλος ἔχειν βουλόμενοι μισοῦσιν.

## Γερμανία

**5 Σεπτεμβρίου 2022**



Ἤδη πεντηκοστὸν ἔτος ἐγένετο ἡ τρομοκρατικὴ προσβολὴ ἐν τοῖς Ὀλυμπίοις τῷ 1972ῳ ἔτει ἐν τῷ Μονάχῳ τότε γιγνομένοις· τῇ πεμπτῇ Σεπτεμβρίου ἐκείνου τοῦ ἔτους ἑταῖροι τῆς τρομοκρατικῆς ἑταιρείας “Μελαίνης Σεπτεμβρίου“ εἰς τὴν ὀλυμπικὴν κώμην κρυφῇ εἰσελθόντες πρὸς τὰ οἰκήματα προσῆλθον οὗ οἱ Ἰσραηλίνοι ἀθληταὶ ᾤκουν καὶ δύο μὲν ἀπέκτειναν, ἐννέα δὲ ἄλλους ὡς αἰχμαλώτους κατέλαβον· ἔπειτα δὲ οἱ τρομοκράται ἐκφυγεῖν πειρώμενοι αὐτοὺς πρὸς τὸν ἀερολιμένα ἤνεγκον, ἀλλὰ ἐκεῖ μάχης τοῖς φύλαξι γενομένης οἱ μὲν ἐννέα αἰχμάλωτοι ὑπὸ τῶν τρωμοκρατῶν, τῶν δὲ ὀκτὼ τρομοκρατῶν πέντε ὑπὸ τῶν φυλάκων ἀπέθανον.

τήμερον δὲ ἐν τῇ Γερμανίᾳ πρᾶξις μνήμης γενήσεται.

## Ἡνωμένον Βασίλειον

**7 Σεπτεμβρίου 2022**



τοῦ Boris Johnson τὴν ἀρχὴν καταλιπόντος, ἡ Liz Truss, 47 ἔτη γεγονυῖα, νέα τοῦ Ἡνωμένου Βασιλείου πρωθυπουργὸς γεγένηται· τὸ πρόγραμμα ὃ ἡ L.T. προτίθησιν ὡς ἐπὶ τὸ πολὺ οὐ πολλῷ ἐκείνῳ τοῦ B.J. διαφέρεται, πλὴν ὅτι ὑπισχνεῖται τοὺς φόρους μειοῦν (διὰ δὲ τοῦτο πολλοὶ αὐτὴν τῇ Margaret Thatcher ἀπεικάζουσιν).

πάντες δὲ καὶ εἰδέναι βούλονται ὅ τι περὶ τοῦ οὕτω καλουμένου “Βρέξιτ“ διανοεῖ, ἡ δὲ ἀπόκρισις ἥδε ἐστίν· πρῶτον μὲν ἐπὶ τὸ Βρέξιτ καρτερῶς διελέγετο, ἔπειτα δὲ ὑπὲρ αὐτοῦ· μεταβολὴν οὖν περὶ τούτου τοῦ πράγματος γενήσεσθαι οὐδένα δεῖ εὐέλπιδα εἶναι.

## Περού

**8 Σεπτεμβρίου 2022**




Ἡ Σίνα μέγαν λιμένα ἐν τῷ Περοὺ οἰκοδομεῖ περὶ οὗ οὐ πολὺ οὐδεὶς διαλέγεται· Chancay μέχρι τοῦ νῦν μικρὰ πόλις ἦν οὗ 63,000 πολῖται ᾤκουν, ἀλλὰ συνθήκη μὲν τῶν τῆς τε Σίνας καὶ τοῦ Περοὺ ἀρχόντων τοῦτον τὸν τόπον μεταβέβληκεν, οὗτος δὲ ὁ νέος λιμὴν κέντρον ἔσται τῆς ἐμπορίας μέχρι τῆς Ἀσίας καὶ τῆς Νοτίας Ἀμερικῆς.

τὸν μέγαν λιμένα ὀγδοήκοντα χιλιόμετρα ἀπὸ τῆς πρωτευούσης Λίμα οἰκοδομοῦσιν, ἵνα δὲ τῷ Παναμερικανῷ ὁδῷ σύνδεσμον ἔχῃ ἀναγκαῖόν ἐστιν ὑπόνομον ὀρύττειν (ἐν τῇ φωτογραφίᾳ) δύο χιλιόμετρα τὸ μῆκος.

## Οὐκραίνα

**13 Σεπτεμβρίου 2022**



Αἱ τελευταῖαι ἡμέραι ἀτυχεῖς ἐγένοντο τῇ Ῥωσίᾳ, ἡ γὰρ Οὐκραίνα μέρος μέγα τῆς χώρας πάλιν κατέλαβεν ἣν ἡ Ῥωσία ἐπεῖχεν.

ἤδη μὲν ἓξ μῆνες ἐξεληλύθασιν ἐξ οὗ ὁ Ποῦτιν εἰς τὴν Οὐκραίναν εἰσβαλεῖν ἐκέλευσεν, νῦν δέ, ἐπειδὴ τὸ ἀποβὰν οὐκ ἔστιν οἷον πάντες ἐνόμιζον ἔσεσθαι, πολλοὶ ἐν τῇ Ῥωσίᾳ ἄρχονται τὸν Ποῦτιν ψέγειν· ἐν δὲ τῇ Ῥωσίᾳ ὡς ἐπὶ τὸ πολὺ αἱ ἧτται κακὰ συμπεράσματα τοῖς ἄρχουσιν ἔχουσιν· ἡ μὲν ἐπὶ τὴν Ἰαπωνίαν ἧττα αἰτία ἐγένετο τῆς τοῦ 1905ου ἔτους ἐπαναστάσεως, τὸ δὲ ἐν τῷ Πρώτῳ Παγκοσμίῳ Πολέμῳ ἀποβὰν αἴτιον ἐγένετο τῆς τοῦ 1917ου ἔτους.

τὸ οὖν νῦν ἐρώτημα τόδε ἐστίν, πότερον ὁ Ποῦτιν, ἰδὼν ὅτι τοῖς συνήθεσιν ὅπλοις νικᾶν οὐ δύναται, τοῖς ἀτομικοῖς χρήσεται ἢ οὔ.

## Ἡνωμένον Βασίλειον

**16 Σεπτεμβρίου 2022**



Τὸ τῶν πολιτῶν πλῆθος τὴν θήκην τὴν τῆς Βασιλείας Ἐλισάβετ Β' ἰδεῖν βουλομένων τοσοῦτο ἐγένετο τὸ μῆκος ὥστε τήμερον οἱ φύλακες ἓξ ὥρας τοὺς πολίτας ἐκώλυσαν τῇ τάξει προστίθεσθαι, ἡ μὲν γὰρ τάξις ἤδη ὀκτὼ χιλιόμετρα τὸ μῆκος ἦν, ἔδει δὲ τοὺς πολίτας ἐλάχιστα τετταρακαίδεκα ὥρας ἑστηκότας μένειν.

ἡ Βασίλεια Ἐλισάβετ Β', ἑβδομήκοντα ἔτη βασιλεύσασα, τοσοῦτον χρόνον ὅσον οὐδεὶς ἄλλος Βρετανικὸς βασιλεύς, τῇ ἐπιγιγνομένῃ Δευτέρᾳ ἐν τῷ Windsor Βασιλείῳ ταφήσεται.

## Ἰρᾶν

**19 Σεπτεμβρίου 2022**



Ἡ Μάσια Ἀμίσι, εἴκοσι δύο ἔτη γεγονυῖα, κατὰ ὁδόν τινα τῆς Τεχεράνης σὺν τῷ ἑαυτῆς ἀδελφῷ ἐβαδίζετο, τὸ δὲ κάλυμμα (ᾧ χρῆσθαι ἀναγκαῖόν ἐστι ταῖς γυναιξὶν ἐν τῷ Ἰρᾶν) οὕτως

περιαμπεῖχεν ὥστε ἐξῆν μέρος τῆς τριχὸς ἰδεῖν· τοῦτο οὖν ἰδόντες οἱ “τῶν εὐπρεπῶν φύλακες“ καλούμενοι αὐτὴν κατέλαβον.

ἔπειτα δὲ ἡ Μ.Α. ἐν τῷ οἰκήματι οὗ οἱ φύλακες αὐτὴν κατεῖχον ἀπέθανεν, κατὰ μὲν τοὺς φύλακας ταχέος τῆς καρδίας νοσήματος ἕνεκα, κατὰ δὲ τοὺς πλείστους πολίτας ὑπὸ τῶν φυλάκων.

τούτου δὲ γενομένου, τῇ Κυριακῇ διαδηλώσεις κατὰ πᾶσαν τὴν χώραν ἐγένοντο, ἀπὸ τοῦ Κουρδιστᾶν ἄχρι τῆς Τεχεράνης, ἐν δὲ ταύταις ταῖς διαδηλώσεσι πολλαὶ γυναῖκες τὸ κάλυμμα ἀφελοῦσαι τὴν τρίχα ἐδήλωσαν (τοῦτο ἐν τῇ φωτογραφίᾳ θεᾶσθαι δυνάμεθα), ὃ ἐν τῷ Ἰρᾶν ἀπαγορεύεται.

## Ῥωσία

**22 Σεπτεμβρίου 2022**



Χθὲς ὁ τῆς Ῥωσίας πρόεδρος Ποῦτιν συλλογὴν ἤγγειλε πολιτῶν (ὃ πολλοὶ ἤδη ὑπώπτευον) ἵνα εἰς τὴν Οὐκραίναν πέμπῃ, οὗ τὸ Ῥωσικὸν στράτευμα οὐκ εὖ πράττει καὶ ἀναχωρεῖ, τοῦ δὲ ἀγγέλματος ἀκουσθέντος πάντα τὰ ἀεροπορικὰ εἰσιτήρια ταχέως ἐπωλήθη, πολλοὶ γὰρ πολῖται ἐκ τῆς χώρας ἐξελθεῖν πειρῶνται οἷ ἔτι ἔξεστιν αὐτοῖς πορεύεσθαι· καὶ δὴ καὶ τὸ τῆς ἠλεκτρονικῆς σελίδος Google παρατηροῦν σύστημα ἔδειξεν ὅτι ἐν τῷ διαδικτύῳ πολλοὶ πολῖται “ὅπως σεαυτῷ χεῖρα ῥηγνύναι“ ζητοῦσιν ἵνα συλλέγεσθαι κωλύωσιν.

οἱ φύλακες ἐν πολλαῖς πόλεσι πλείστους βίᾳ κατέλαβον πολίτας τούτῳ τῷ κηρύγματι ἀνθισταμένους.

## Ἰταλία

**26 Σεπτεμβρίου 2022**



Χθὲς ἀρχαιρεσίαι ἐγένοντο ἐν τῇ Ἰταλίᾳ, τὸ δὲ κόμμα "Τῆς Ἰταλὶας Ἀδελφοὶ" τὴν νίκην ἐκτήσατο, ἡ οὖν Γεωργία Μελόνι (ἐν τῇ φωτογραφίᾳ), τετταράκοντα καὶ πέντε ἔτη γεγονυῖα καὶ τούτου τοῦ κόμματος ἄρχουσα, πρωθυπουργὸς γενήσεται.

ἐπεὶ δὲ τοῦτο τὸ κόμμα καίπερ νικῆσαν μόνον ἄρχειν οὐ δύναται, συνθήκην ποιεῖν ἀναγκασθήσεται ἄλλοις κόμμασιν ἃ καὶ πρὸς τὴν δεξιὰν κεκλιμένα ἐστίν, τοῦτο δὲ πολλαῖς ἄλλαις Εὐρωπαίαις χώραις οὐκ ἀρέσκει, πολλοὶ γὰρ τοῦτο τὸ κόμμα τῷ Μουσσολίνι συνάπτουσιν.

νῦν δὲ ὁρᾶν δεῖ ὁπόσον χρόνον ἡ νέα ἀρχὴ μενεῖ, διότι ἐν τῇ Ἰταλίᾳ οἱ ἄρχοντες οὐ πολὺν χρόνον ἐν ἀρχῇ μένουσιν· εἰ προσεικάζειν βουλόμεθα, ἀπὸ τοῦ Δευτέρου Παγκοσμίου Πολέμου οἱ μὲν Ἰταλιάνοι τριάκοντα ἕνα πρωθυπουργοὺς ἐσχήκασιν, οἱ δὲ Γερμανοὶ μόνον δέκα.

## Ῥωσία

**29 Σεπτεμβρίου 2022**



Ἡ τῶν ΗΑΠ πρεσβεία ἐκέλευσε τοὺς Ἀμερικανοὺς πολίτας οἳ ἐν τῇ Ῥωσίᾳ οἰκοῦσιν ταύτην τὴν χώραν ὡς τάχιστα ἀπολιπεῖν, ἄλλους τε καὶ τοὺς τὰς δύο πολιτείας ἔχοντας (εἴτε διότι

πολλὰ ἔτη ἐν τῇ Ῥωσίᾳ ᾠκήκασιν εἴτε διότι Ῥωσικὰς γυναῖκας γεγαμήκασιν), ἡ γὰρ πρεσβεία φοβεῖται μὴ ἡ Ῥωσικὴ ἀρχή, ὡς πλείστων στρατιωτῶν δεομένη, τὴν διπλῆν πολιτείαν οὐ φυλάττῃ καὶ τούτους τοὺς "Ῥωσικοὺς" πολίτας εἰς τὸ στράτευμα ἀπογράφεσθαι βίᾳ ἀναγκάζῃ.

πολλοὶ δε πολῖται διαμένουσιν ἐκ τῆς Ῥωσίας ἐξιόντες ἵνα τὴν συλλογὴν φεύγωσιν.

## Ἰνδονησία

**2 Ὀκτωβρίου 2022**



Χθὲς ἐν τῇ Ἰνδονησίᾳ δεινὴ συμφορὰ ἐγένετο, ἑκατὸν γὰρ καὶ εἴκοσι πέντε ἄνθρωποι ἐν τῇ νήσῳ Ἰάβᾳ ἀπέθανον (καὶ πολλοὶ ἄλλοι ἐτρώθησαν) ταραχῆς ἐν ποδοσφαιρικῷ σταδίῳ γενομένης.

ἐν τῷ τῆς F. C. Arema λέσχης σταδίῳ, τοῦ ἀγῶνος τελευτήσαντος, πολλοὶ μὲν τῶν ταύτῃ τῇ λέσχῃ ἐπικουρούντων τὴν ἧτταν κακῶς ἐδέξαντο καὶ τὰς ἐξέδρας καταλιπόντες εἰς τὸν τοῦ ἀγῶνος λειμῶνα αὐτὸν εἰσέτρεχον τοὺς ποδοσφαιριστὰς μεμφόμενοι, οἱ δὲ φύλακες ἵνα αὐτοὺς σκεδαννύοιεν δακρυόεντα ἀέρα ἀφεῖσαν, ἀλλὰ ἡ τοῦ ἀέρος νεφέλη ταχέως εἰς τὰς ἐξέδρας ἀφίκετο οὗ οἱ πλεῖστοι τῶν θεατῶν ἔμενον, ὥστε οἱ θεαταὶ πρὸς τὰς ἐξόδους, στενὰς οὔσας, ἔτρεχον.

ἐκεῖ δὲ ἡ κατάστασις χείρων ἐγένετο, τοσοῦτοι γὰρ ἄνθρωποι ἐν ταῖς ἐξόδοις ἀλλήλοις συνέπεσον ὥστε χαλεπὸν πνεῖν ἦν· ἔνιοι μὲν πνεῖν οὐ δυνάμενοι ἀπέθανον, ἄλλοι δὲ καταπατούμενοι, ἄλλοι δὲ ἕως πρὸς τὰ νοσοκομεῖα ἐφέροντο.

ἤδη πολλάκις δειναὶ συμφοραὶ ἐν τοῖς ποδοσφαιρικοῖς σταδίοις γεγόνασιν κατὰ πᾶσαν τὴν οἰκουμένην, ἴσως δέοι ἂν τοὺς ἀγῶνας ἄνευ θεατῶν γενέσθαι.

## Κορέα

**4 Ὀκτωβρίου 2022**



Τήμερον ἅμα πρωὶ ἡ μὲν Βορεία Κορέα πύραυλον ἀνῆκεν ὃς ὑπὲρ μικροῦ τῆς Ἰαπωνίας μέρους ἔπτετο, τῶν δὲ ἐν τέλει κελευόντων οἱ ἐν ἐκείνῳ τῆς Ἰαπωνίας μέρει ἐνοικοῦντες εἰς οἰκήματα καὶ ὑπὸ τὴν γῆν κατέφυγον· τέλος δὲ ὁ πύραυλος ὑπὲρ τῆς Ἰαπωνίας πτόμενος εἰς τὸν Εἰρηνικὸν Ὠκεανὸν κατέπεσεν.

ἡ ἐν ἐκείνῳ τοῦ κόσμου μέρει ἡ κατάστασις ἐπικινδυνωτέρα γίγνεται, τῶν μὲν γὰρ τελευταίων δέκα ἡμερῶν ἡ Βορεία Κορέα ὀκτὼ πύραυλα ἀνῆκεν, ἡ δὲ τῶν ΗΑΠ ἀντιπρόεδρος Kamala Harris τετάρτην ἡμέραν εἰς τὴν Νοτίαν Κορέαν ἀφίκετο ἵνα τὴν ἀμυντήριον συνθήκην βεβαιοῖ.

κατὰ δὲ τὴν Νοτίαν Κ. ἡ Βορεία Κ. ἐν νῷ ἔχει πυρηνικὴν πειρᾶν μεταξὺ τῆς 16ης Ὀκτωβρίου καὶ τῆς 7ης Νοεμβρίου πράττειν.

## Οὐκραίνα

**8 Ὀκτωβρίου 2022**



Μεγάλη ἔκρηξις ἐγένετο τήμερον ἐν τῇ γεφύρᾳ τῇ τὴν Κριμαίαν χερσόνησον (μέρος τῆς Οὐκραίνας ὑπὸ τῆς Ῥωσίας τῷ 2014ῳ ἔτει βίᾳ αἱρεθέν) καὶ τὴν Ῥωσίαν ζευγνύσῃ, τρεῖς δὲ

ἄνθρωποι ἀπέθανον· αὕτη δὴ ἡ γέφυρα, ἐννεακαίδεκα χιλιόμετρα τὸ μῆκος, κεφαλαία ἐστὶ τῇ Κριμαίᾳ, τὰ γὰρ πλεῖστα τῶν ἐπιτηδείων τῶν ἐκεῖσε ἀφικνουμένων δι' αὐτῆς κομίζεται.

καὶ εἰ (κατὰ τὸ Κρέμλινον) ἐν τῇ Κριμαίᾳ πετρέλαιον μὲν εἰς πεντεκαίδεκα ἡμέρας, σῖτον δὲ εἰς ἑξήκοντα ἔχουσιν, οἱ ἄρχοντες, φοβούμενοι μὴ οἱ πολῖται πρὸς τὰ καπηλεῖα ἑαυτοὺς ῥίπτωσι καὶ ταραχὴ γίγνηται, ὅρον τοῖς ὠνίοις κατέθηκεν· τρία χιλιόγραμμα ὠνίων καθ' ἄνθρωπον.

## Ῥωσία

**11 Ὀκτωβρίου 2022**



Ἡ Ἰαπωνικὴ ἐπιχείρησις Νίσσαν ἣ ἄλλα τε καὶ αὐτοκίνητα πορίζει πάντα τὰ ἑαυτῆς κτήματα (ἐργαστήρια κτλ.) τὰ ἐν τῇ Ῥωσίᾳ ἐπώλησεν, τοῦ γὰρ πολέμου διαμένοντος ἔδοξε τοῖς τῆς ἐπιχειρήσεως ἄρχουσι μὴ ἐκεῖ μένειν.

πολλαὶ μὲν ἐπιχειρήσεις τὰ ἐκεῖ ἑαυτῶν κτήματα πωλήσασαι ἤδη τὴν Ῥωσίαν κατέλιπον, τὸ δὲ περὶ τῆς Νίσσαν θαυμαστὸν οὐκ ἔστιν τὸ ἀπελθεῖν ἀλλὰ τὸ τίμημα ἐφ' ᾧ πάντα ἐπώλησαν, τὸ γὰρ τίμημα ἦν... ἓν Εὐρώ.

ὅμως δὲ κατὰ τὴν συνθήκην ἐξέσται τῇ Νίσσαν πάντα τὰ πεπωλημένα αὖθις πρὸ τοῦ 2028ου ἔτους ὠνεῖσθαι ἐὰν βούληται.

## Εὐρώπη

**15 Ὀκτωβρίου 2022**



Ὁ ΒΑΣΟ (ὁ τοῦ Βορείου Ἀτλαντικοῦ Συμφώνου Ὀργανισμὸς) κατασκευάσει ἀερίαν ἀσπίδα ἵνα τὴν Ἑσπερίαν Εὐρώπην φυλάττῃ, ἡ γὰρ προσβολὴ ἡ τῆς Ῥωσίας πρὸς τὴν Οὐκραίναν πυραύλοις χρωμένης πολλὰς Εὐρωπαικὰς χώρας ἐγήγερκεν, αἱ δὲ νῦν αἰσθάνονται οὐχ ἱκαναὶ ῥωμαλέαι οὖσαι ἐὰν ἡ Ῥωσία ἐξαίφνης προσβάλλῃ.

τὸ τῆς συνόψεως ὄνομα European Sky Shield ἐστίν, Ἀερία Εὐρωπαικὴ Ἀσπίς, τῆς δὲ Γερμανίας ἡγουμένης τετταρακαίδεκα ἄλλαι χῶραι (καὶ ἡ Φινλανδία, καίπερ οὔπω κοινωνὸς τοῦ ΒΑΣΟ οὖσα, ἐσομένη δὲ) προχθὲς ἐν τῷ τοῦ ΒΑΣΟ ἱδρύματι τὴν συνθήκην ὑπεγράψαντο.

τὸ ταύτης τῆς ἀσπίδος τέλος τόδε ἔσται, τὰ Ῥωσικὰ πύραυλα διαφθείρειν πρὶν ἂν εἰς τὴν Ἑσπερίαν Εὐρώπην ἀφίκηται.

## Σίνα

**19 Ὀκτωβρίου 2022**



Ἓξ ἑκατομμύρια· οὗτος δή ἐστιν ὁ ἀριθμὸς ὁ τῶν πλουσιωτάτων οὓς ἡ Σίνα ἔχει· καὶ εἰ ἴσως ἓξ ἑκατομμύρια οὐ μέγας ἀριθμός ἐστιν ἐν χώρᾳ τοσούτους ἐνοικοῦντας ἐχούσῃ (σχεδὸν τὸ τέταρτον τῆς οἰκουμένης μέρος), οὐδαμῶς ἀνάξιός ἐστιν, ὡς γὰρ ἐπὶ τὸ πολὺ ὁπόταν περὶ τῆς Σίνης διανοῶμεν αἱ εἰκόνες αἳ εἰς τὸν ἡμέτερον νοῦν ἀφικνοῦνται πολὺ ἀπὸ ταύτης τῆς ἰδέας

ἀπέχουσιν.

ὁ Σὶ Ζινπὶγκ νεωστὶ τοῦ εἰκοστοῦ τοῦ Σινικοῦ Κοινωνητικοῦ Κόμματος συλλόγου κατήρξατο, οὗ οὐ μόνον αὖθις περὶ τῶν ἐξωτερικῶν εἶπεν (μάλιστα δὲ περὶ τῆς τοῦ Ταιβὰν καταστάσεως ἰσχυρίσατο) ἀλλὰ καὶ περὶ τῶν οἰκείων εὐπραξιῶν, ὡς δὲ κεφάλαιον τοῦ περὶ τῶν οἰκείων λόγου τόδε ἐπέδειξεν, τὸν ἀπροσδόκητον νέων πλουσιωτάτων ἀριθμόν, συντυχίαν οὖσαν ἣ πολλάκις τοὺς ἑσπερίους λανθάνει.

## Ἡνωμένον Βασίλειον

**22 Ὀκτωβρίου 2022**



Ἄρχεται ἐν τῷ Ἡνωμένῳ Βασιλείῳ ἡ τῆς διαδοχῆς μάχη, τῆς γὰρ Λὶζ Τρᾶς τὴν ἀρχὴν "ἑκούσης" καταλιπούσης οἱ κεφάλαιοι τοῦ οὕτω καλουμένου "Τόρι" κόμματος νέον ἡγεμόνα ζητοῦσιν ὃς ἀσφάλειάν τινα τῇ χώρᾳ παρέχῃ· τὰ οὖν ὀνόματα ἃ νῦν πλεῖστα ἀκούομεν τάδε τὰ δύο ἐστίν· ὅ τε Ῥίσι Σοῦνακ (ὁ πρότερος τῆς οἰκονομίας ὑπουργὸς) καὶ ὁ Βόρις Ἰόνσων (ὁ πρότερος πρωθυπουργός)· ὅστις ἂν νικήσῃ χαλεπώτατον ἔργον πρὸ ἑαυτοῦ κείμενον εὑρήσεται, ἡ γὰρ τῆς οἰκονομίας κατάστασις, καὶ εἰ μηδαμῶς οἰκτρά ἐστιν, ἰσχυρᾶς τινος προτροπῆς ὡς τάχιστα δεῖται.

ἡ Λὶζ Τρᾶς μόνον τετταράκοντα καὶ τέτταρας ἡμέρας ἐν τῇ ἀρχῇ ἔμεινεν, τὰς γὰρ εἰς τὴν οἰκονομίαν μεταβολὰς ἃς προύθηκεν (ἄλλας τε καὶ τὰς περὶ τῶν δασμῶν) οὐδὲ οἱ τοῦ ἑαυτῆς κόμματος ἑταῖροι ἐδέξαντο.

## Ἡνωμένον Βασίλειον

**25 Ὀκτωβρίου 2022**



Ἤδη ἴσμεν ὅστις ὁ ἐπιγιγνόμενος τοῦ Ἡνωμένου Βασιλείου πρωθυπουργὸς γενήσεται· ὁ Ῥίσι Σοῦνακ, ὃς τὰς πλείστας τῶν τοῦ ἑαυτοῦ κόμματος ψήφους ἐκτήσατο. πλουσιώτατός τε καὶ Ἰνδικὸς το γένος ὤν, ὁ Ρ.Σ. πειράσεται πρῶτον μὲν τὸ ἑαυτοῦ κόμμα αὖθις συνάπτειν τε καὶ συναρμόζειν, νῦν γὰρ τοῦτο τὸ κόμμα οὐδὲν παράδειγμα συμφωνίας τυγχάνει ὄν, ἔπειτα δὲ ἡσυχίαν τινὰ εἰς τὰς οἰκονομικὰς ἀγορᾶς εἰσβάλλειν.

ὅμως δὲ πολλοὶ εἰδέναι βούλοιντο ἂν ὅ τι περὶ τὰ ἐξωτερικὰ ἐν νῷ ἔχει ποιεῖν· παραδείγματος ἕνεκα, ἤδη περὶ τοῦ μηνὸς Ἰουλίου εἶπεν ὅτι βούλοιτο πρωθυπουργὸς γενόμενος πάντα τὰ Κομφούκιος Ἱδρύματα ἐν τῷ Ἡνωμένῳ Βασιλείῳ κείμενα κλεῖσαι, οὗ πολλοὶ τὴν Σινικὴν γλῶτταν μανθάνομεν (καὶ ὁ τοῦτο νῦν γράφων)· τὰ οὖν ἐξωτερικὰ πολιτικὰ αὐτοῦ μένει ἀσαφῆ ὄντα.

## ΗΑΠ

**29 Ὀκτωβρίου 2022**



Ἐν τῇ πόλει Σὰν Φρανσίσκο προχθὲς τῆς νυκτὸς ἀνήρ τις εἰς τὴν τῆς Νάνσι Πελόσι οἰκίαν εἰσβὰς ἐπειράσατο αὐτῇ ἐπιθεῖσθαι· ὁ μὲν ἀνήρ, Δάβιδ Δε Πάπε, τετταράκοντα δύο ἔτη γεγονώς, εἰς τὴν οἰκίαν λάθρᾳ εἰσβὰς τὴν Νάνσι Πελόσι, τὴν τῆς τῶν Ἀντιπροσώπων Βουλῆς πρόεδρον, ἐζήτει, οἱ δὲ φύλακες, εἰσκληθέντες τε καὶ ταχέως ἀφικόμενοι, εἶδον τόν τε παρείσακτον Δ.Δ.Π. τῇ Ν.Π. ἐπιθεῖσθαι πειρώμενον καὶ τὸν τῆς Ν.Π. ἄνδρα, Παῦλ Πελόσι, ὀγδοήκοντα δύο ἔτη γεγονότα, σφῦραν ἐν τῇ χειρὶ ἔχοντα, ἀλλὰ ὁ παρείσακτος, πρὶν τοὺς

φύλακας κωλύειν δύνασθαι, ὁρμώμενος τὴν σφῦραν ἀπὸ τῆς τοῦ Π.Π. χειρὸς ἀφεῖλε καὶ αὐτῇ χρώμενος τῷ ἀνδρὶ ἐπέθετο· ὅμως δὲ κατὰ τοὺς ἰατροὺς ὁ τοῦ Π.Π. βίος οὐ κινδυνεύει, καίπερ τραύματα πολλὰ παθόντος.

κατὰ τὸν τῶν φυλάκων φερέφωνον, οὗτος ὁ Δ.Δ.Π. πολλάκις ἐν τοῖς κοινωνικοῖς δικτύοις ἀγγέλματα τῷ Δόναλδ Τρᾶμπ συνηγορῶν ἐγεγράφει πρὶν τοῦτο γενέσθαι.

## Βρασῖλ

**1 Νοεμβρίου 2022**



Ἐν τῷ Βρασῖλ ἀρχαιρεσίαι τῇ Κυριακῇ ἐγένοντο, οἱ δὲ δύο εἰς ἀρχὴν παραγγέλλοντες, ὁ Βολσονάρο (ὁ νῦν πρόεδρος) καὶ ὁ Λοῦλα (πρόεδρος ἦν πρὶν τὸν Βολσονάρο εἰς τὴν ἀρχὴν ἀφίκεσθαι), σύμβολά εἰσι τῆς δεξιᾶς καὶ τῆς ἀριστερᾶς στάσεως.

ἤδη μὲν πάντες ᾔδεσαν τοὺς δύο μνηστεύοντας ἐν ταῖς ἀρχαιρεσίαις ἀγχωμάλους γενησομένους, τὸ δὲ ἀποβὰν τοῦτο ἐπηλήθευσεν, ὁ γὰρ Βολσονάρο καίπερ νικηθεὶς σχεδὸν τοσαύτας ψήφους ἐκτήσατο ὅσας ὁ Λοῦλα.

ἔτι δὲ καὶ νῦν ὁ Βολσονάρο αὐτὸς οὐδὲν περὶ τὸ ἀποβὰν λέληχεν, ἀλλὰ τῆς τοῦ Λοῦλα νίκης ἀγγελθείσης πολλοὶ ἁρματηλάται οἳ τῷ Βολσονάρο ἐπεκούρουν τὴν ἧτταν οὐ δεχόμενοι πολλὰς κατὰ τὴν χώραν ὁδοὺς ἔφραξαν τὰς ἁμάξας ἐν τῇ μέσῃ ὁδῷ καθιστάντες.

## Ῥωσία

**5 Νοεμβρίου 2022**



Νέαι τοῦ Ποῦτιν μέθοδοι ἵνα πλείονας στρατιώτας κτᾶται οὕστινας εἰς τὴν Οὐκραίναν πέμψαι δύνηται ἄν, ἡ γὰρ Δοῦμα (ἡ τῆς Ῥωσίας βουλὴ) νέον νόμον χθὲς ἀπεδέξατο καθ' ὃν νῦν ἔξεσται παρανόμους τε καὶ κακουργοὺς ἄνδρας συλλέγειν ἵνα εἰς τὸ στράτευμα ἐγκρίνωνται (τοῦτο δὴ τὸ πρὶν ἀπηγόρευον οἱ νόμοι)· ὅμως δὲ μόνον συλλέγειν ἔξεσται τούς τε νῦν ἐπί τισιν ἐν ἐλευθερίᾳ ὄντας καὶ τοὺς μήπω καταγνωσθέντας· ὡς ἔπος εἰπεῖν, τοὺς κακουργοῦντας νῦν ἐν τῷ δεσμωτηρίῳ οὐ κειμένους, εἴτε ἅτε ἤδη ἐλευθερωθέντας εἴτε ἅτε οὔπω εἱρχθέντας.

ὁ Ποῦτιν πλειόνων στρατιωτῶν δεῖται, ἀλλὰ δευτέραν συλλογὴν συλλέγειν οὐ βούλεται, φοβεῖται γὰρ μὴ μείζονες ἐνστάσεις γένωνται παρὰ τοῖς πολίταις οἷαι ἐγένοντο τῆς πρώτης συλλογῆς τῷ μηνὶ Σεπτεμβρίου ἀγγελθείσης.

## Αἴγυπτος

**6 Νοεμβρίου 2022**

Ἄρχεται ἐν τῇ Αἰγύπτῳ ἡ σύνοδος COP 27 καλουμένη, ἐν ᾗ οἱ τῶν πλείστων χωρῶν ἄρχοντες περὶ τῆς κλιματικῆς μεταλλαγῆς (παγκοσμίας ὑπερθερμότητος κτλ.) διαλεχθήσονται· αὕτη δὲ ἡ σύνοδος δύο ἑβδομάδας διαμενεῖ, ἴσως μακρότερον χρόνον.

τὰ μὲν τοιαύτης μεταλλαγῆς ἀποβαίνοντα συνεχῶς πρὸς τὸ χεῖρον ταχέως μεταβάλλεται (κατακλυσμοὺς μὲν ἐν τῷ Πακιστᾶν, ἀήθη δὲ καῦσον ἐν τῇ Εὐρώπῃ, κτλ.), κατ' ἐνιαυτὸν δὲ οἱ

ἄρχοντες βουλεύματα δέχονται ἵνα τοιαύτας συμφορὰς γενέσθαι κωλύωσιν, ἀλλὰ... ταῦτα τὰ βουλεύματα, ἅτινα ἂν ὦσιν, οὐδέποτε ἀληθεύονται· οὔκουν δεήσει τὸν νοῦν τοῖς ἐν ταύτῃ τῇ συνόδῳ συμβουλευθεῖσι βουλεύμασι παρέχειν, ἀλλὰ ταῖς ἔπειτα πράξεσιν.

## Ἰταλία

**9 Νοεμβρίου 2022**



Χθὲς ἐν τῇ Σικελίᾳ ἡ Ἰταλικὴ ἀρχὴ εἴασε τοὺς 212 ἐπιβάτας τοὺς τῆς νεὼς Geo Barents οἳ ἔτι ἐν τῇ νηὶ ἔμενον εἰς τὸν τῆς Κατανίας λιμένα ἐκβῆναι· αὕτη μὲν ἡ ναῦς ἣ τῷ ὀργανισμῷ " Ἰατροὶ ἄνευ ὅρων " πρόσεστι τῇ Κυριακῇ εἰς τὴν Κατανίαν ἀφίκετο 572 μετανάστας κομίζουσα, ἡ δὲ Ἰταλικὴ ἀρχὴ εἴασε μόνον τούς τε παῖδας καὶ τὰς γυναῖκας καὶ τοὺς νοσοῦντας ἐκβῆναι, ἡ γὰρ τῆς Ἰταλίας πρωθυπουργὸς Γεωργία Μελόνι ἐβούλετο ἀναγκάζειν αὐτοὺς πρὸς τὴν ἀνοικτὴν θάλατταν ἀπάγεσθαι.

ἡ Σικελία, ἅτε ἐγγὺς τῆς Ἀφρικῆς οὖσα, πολλοὺς μετανάστας εἰς τὴν Εὐρώπην ἀφίκεσθαι πειρωμένους δέχεται, ἡ δὲ τῆς Γ. Μελόνι ἀρχὴ κωλύειν πειρᾶται, τοῦτο δὲ ἅμιλλαν πρὸς τοὺς ὀργανισμοὺς ποιεῖ οἳ τοὺς μετανάστας ὠφελοῦσιν.

## Οὐκραίνα

**13 Νοεμβρίου 2022**



Τὸ τῆς Ῥωσίας στράτευμα ἀπὸ τῆς πόλεως Χερσὸν τῇ Τετάρτῃ ἡμέρᾳ ἀναχωρεῖν ἤρξατο, τὸ γὰρ τῆς Οὐκραίνας στράτευμα συνεχῶς προχωρεῖ καὶ ἤδη μέγα μέρος ἀπείληφε τῆς χώρας ὑπὸ τῆς Ῥωσίας καταληφθείσης· αὕτη δὲ ἡ πόλις, Χερσόν, τὸ κεφάλαιον ἦν τῆς εἰς τὴν Οὐκραίναν εἰσβολῆς, ἡ γὰρ πρωτεύουσα τυγχάνει οὖσα τῆς ἐπαρχίας (καὶ Χερσὸν καλουμένης) ἣν ὁ Ποῦτιν, ψευδῶν ἀρχαιρεσιῶν γενομένων, νεωστὶ "εἰσαεὶ μέρος τῆς Ῥωσίας" ἐσομένην ἐκήρυξεν, καὶ δὴ καὶ εἴσοδός ἐστιν εἰς τὴν Κριμέαν χερσόνησον, μέρος τῆς Οὐκραίνας ὃ ὁ Ποῦτιν τῷ 2014ῳ ἔτει βίᾳ κατέλαβεν.

κατὰ τὴν Ῥωσικὴν τηλεόρασιν αὕτη ἡ ἀναχώρησις οὔτε ἧττα οὔτε ἀναχώρησίς ἐστιν ἀλλὰ "τακτικὴ τῆς στάσεως μεταβολή."

ὅμως δὲ οἱ τῆς Οὐκραίνας στρατηγοὶ εἶπον ὅτι αὕτη μὲν ἡ ἀναχώρησις, καίπερ μεγάλη τῆς Οὐκραίνας νίκη οὖσα, τὸ Ῥωσικὸν στράτευμα ἐπὶ τῷ τοῦ ποταμοῦ Δνιέπερ ἀνατολικῷ θινὶ καρτερώτατον ποιήσοι, εἰκότως δὲ τῶν ἐπιγιγνομένων ἑβδομάδων ἡ Ῥωσία τὴν πόλιν ἀπολαβεῖν πειράσοι.

## Πωλονία

**16 Νοεμβρίου 2022**



Χθὲς ἡ κατάστασις ἡ περὶ τῆς Οὐκραίνας χείρων ἐγένετο, δύο γὰρ πύραυλα ἐντὸς τῆς Πωλονίας κατέπεσεν ἃ δύο ἀνθρώπους ἀπέκτεινεν.

πρῶτον μὲν ταχέως ἡ φήμη ἀφίκετο ὅτι ἡ Ῥωσία ταῦτα τὰ πύραυλα προείη, ὃ ἐπικινδυνώτατον ἐγένετο ἄν, ἡ μὲν γὰρ Πωλονία μέρος ἐστὶ τοῦ ΒΑΣΟ, κατὰ δὲ τοὺς τοῦ ΒΑΣΟ νόμους ἐὰν χώρᾳ τοῦ ΒΑΣΟ τινὶ ἐπιτιθῆται ἄλλη χώρα δεήσει τοὺς ἄλλους τοῦ ΒΑΣΟ κοινωνοὺς ταύτῃ ἀμύνειν· ἔπειτα δὲ εἶπεν ὁ τῆς Πωλονίας φερέφωνος ὅτι τὰ δύο πύραυλα ἀμυντήρια ὄντα ἡ

Οὐκραίνα προείη, ἡ μὲν γὰρ Ῥωσία τοσαῦτα πύραυλα νῦν πρὸς τὴν πρωτεύουσαν Κίεβ προίησιν ὥστε δεῖ τὴν Οὐκραίναν συνεχῶς ταῦτα τὰ πύραυλα διαφθείρειν πειρᾶν ἀμυντηρίοις πυραύλοις χρωμένην, δύο δὲ τούτων τῶν ἀμυντηρίων πυραύλων ἔνδον τῆς Πωλονίας κατέπεσεν.

## Κατάρ

**20 Νοεμβρίου 2022**



Τήμερον ἄρξεται ἐν τῷ Κατὰρ ὁ παγκόσμιος ποδοσφαίρου ἀγών, λόγῳ μὲν ποδοσφαίρου ἀγών, ἔργῳ δὲ πολιτικὴ ἅμιλλα, ὃ δυστυχῶς ἀεὶ γίγνεται, ἀλλὰ ἴσως σφοδρότερον νῦν, οὐδένα δὲ τοῦτο λανθάνει ὅστις ἂν τὰ νέα ἀναγιγνώσκῃ.

ἐξ ἀρχῆς πολλοὶ ψόγοι τοῦτον τὸν ἀγῶνα περιεσχήκασιν, πρῶτον μὲν τῷ 2010 ἔτει τοῦ Κατὰρ τὴν κατάστασιν κτησαμένου, πολλοὶ γὰρ ἤδη τότε εἶπον ὅτι ἡ αἵρεσις ὑπὸ τοῦ τῆς τε οἰκονομικῆς διαφθορᾶς καὶ τῆς δωροδοκίας στεγάσματος γένοιτο, νῦν δὲ πολλὰ λέγεται περὶ τοὺς ξένους ἐργαστὰς οἳ τὰ στάδια οἰκοδομοῦντες ἀπέθανον, καὶ δὴ καὶ πολλοὶ ταύτῃ τῇ χώρᾳ μέμφονται ὅτι τὰ ἀνθρώπινα δίκαια οὐκ αἰδεῖται, διὰ δε ταῦτα πολλοὶ ἔνδοξοι ποδοσφαιρισταὶ αἰτοῦσι τούτου τοῦ ἀγῶνος παραμελεῖν τε καὶ ὀλιγωρεῖν.

χθὲς δὲ ὁ τοῦ FIFA πρόεδρος Gianni Infantino ἐπειράσατο τούτους τοὺς ψόγους ἀπελέγχειν, ἀλλὰ ὁ μὲν πρὸς τοὺς δημοσιογράφους λόγος αὐτοῦ τὴν ἅμιλλαν ἔτι χείρονα ἐποίησεν, ἡ δὲ ἔρις μείζων ἐγένετο.

## Κατάρ

**23 Νοεμβρίου 2022**



Οἱ τὸ ποδόσφαιρον φιλοῦντες ἤδη ἔχουσι τὸ πρῶτον τοῦ παγκοσμίου ἀγῶνος θαῦμα, χθὲς γὰρ ἡ Σαουδικὴ Ἀραβία τὴν Ἀργεντίναν ἀπροσδοκήτως ἐνίκησεν. πάντες δὴ ἴσασιν ὅτι ἡ μὲν Ἀργεντίνα ἐν ἑκάστῳ παγκοσμίῳ ἀγῶνι τυγχάνει τὸ τροπαῖον μνηστεύουσα (ὃ δὶς ἐκτήσατο), ἰσχυρωτάτη γὰρ ὁμάς ἐστι τοῦ ἐνδοξοτάτου Μέσσι ἡγεμονεύοντος, ἡ δὲ Σαῦουδικὴ Ἀραβία οὐδέποτε φανερὰ ἐγένετο ἐν τῷ τοῦ ποδοσφαίρου κόσμῳ, ἀλλὰ τῇ τύχῃ ἔδοξε χθὲς τοῖς θεαταῖς θαῦμά τι παρέχειν· καὶ εἰ ἐν τῇ τοῦ ἀγῶνος ἀρχῇ τὸν πρῶτον στόχον ἡ Ἀργεντίνα ἐκτήσατο, ἡ Σ. Α. δύο στόχους ἐν τῷ δευτέρῳ ἡμίσει κτησαμένη τὴν νίκην ἠνέγκετο.

κατ' ἐνιαυτὸν τὸ διάστημα τὸ μεταξὺ τῶν μεγάλων ὁμάδων (χωρῶν οὗ τὸ ποδόσφαιρον συνήθες ἐστὶ) καὶ τῶν λόγῳ μικρῶν (χωρῶν οὗ τὸ ποδόσφαιρον νέον τι ἐστὶ) μειοῦται.

## Εὐρωπαικὴ Ἕνωσις

**26 Νοεμβρίου 2022**



Πολλῶν ἐρωτώντων οἵτινες ἐν τῷ τῆς Οὐκραίνας πολέμῳ νικήσουσιν, χθὲς ὁ τῆς Εὐρωπαικῆς Ἑνώσεως τὴν τῶν ἐξωτερικῶν τάξιν ἔχων Ἰωσὴφ Βορρὲλ εἶπεν ὅτι ἴσως ὁ πόλεμος οὐ μὲν ὅλην τινὰ τελευτὴν ἕξοι, παγήσοιτο δὲ ὡς ἐν τῇ Κορέᾳ ἐγένετο, ἐκεῖ γὰρ τῷ 1953ῳ ἔτει οὐδετέρας χώρας νικᾶν δυναμένης ἀνοχαὶ ὑπεγράφησαν ἀντὶ τῆς εἰρήνης, κατὰ δε πολλοὺς ἀναλυστὰς τοῦτο δυνατὸν τὸ νῦν εἶναι ἀποβὰν εἴη ἂν καὶ τοῦ ἐν τῇ Οὐκραίνᾳ πολέμου.

ὅμως δὲ κατὰ τὸν Ἰ. Β. ἵνα τοῦτο γένοιτο ἀναγκαῖον ἂν εἴη τὰ δύο στρατεύματα ἀναχωρεῖν τε καὶ τοῦ χώραν τινὰ ἀπαιτεῖν ἐξίστασθαι, ὃ νῦν εἰκὸς οὐκ ἔστιν.

## ΗΑΠ

**30 Νοεμβρίου 2022**



Δύο μῆνας ἐν τῷ Βασιγκτόνι κρίναντες οἱ δικασταὶ χθὲς τοῦ Stewart Rhodes ἐπὶ ἐπαναστάσει κατέγνωσαν, κατὰ γὰρ τοὺς δικαστὰς ὁ S.R. καὶ εἰ αὐτὸς τῆς ἐπὶ τὸ Καπιτώλιον προσβολῆς οὐ μετέσχεν (ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ ἄλλοθι παρῆν) ὅμως αἴτιος ἐγένετο ἐνόπλῳ ἐπιβολῇ ἡγησάμενος ἵνα τοὺς τῆς δημοκρατίας θεμελίους διαφθείροι, οἱ γὰρ φύλακες πολλὰ ἀγγέλματα ὑπ' αὐτοῦ πεμφθέντα ηὗρον οἷς ὁ S.R. τοὺς περὶ ἑαυτοῦ ἐπώτρυνεν ἵνα τῷ Καπιτωλίῳ ἐπιθεῖντο.

οἱ δὲ δικασταὶ οὔπω μὲν εἰρήκασιν ὁπόσα ἔτη αὐτοῦ καταγνώσονται, τοῦτο δὲ ἴσως πρὸ τοῦ Φεβρουαρίου οὐ διακρινοῦσιν.

ὁ S.R. στρατιώτης μὲν ἦν καὶ Νομικὰ ἐν τῷ Πανεπιστημίῳ Γεῖλ ἔμαθεν, ἔπειτα δὲ τὴν ἑταιρείαν "Οἱ τοῦ Ὅρκου Φύλακες" καλουμένην ἔκτισεν.

## Σίνα

**3 Δεκεμβρίου 2022**



Ἐν τῇ Σίνῃ, τῆς νόσου Covid-19 σκεδαννυμένης, ἔδοξεν ἤδη πάλαι τοῖς ἄρχουσι τῇ οὕτω καλουμένῃ "Covid-0" τακτικῇ χρῆσθαι, ἣ καὶ ὠφέλειαν παρέχει καὶ βλάβην, ἡ δὲ κεφαλαία βλάβη πᾶσι δήλη τυγχάνει οὖσα, τὸ τοὺς πολίτας κωλύειν μὴ ἐκ τῶν ἑαυτῶν οἰκημάτων ἐξελθεῖν, οὐ μόνον ἐκείνους οἵτινες ἂν ταύτην τὴν νόσον πάσχωσιν ἀλλὰ καὶ πάντας οἵτινες ἂν ἐν τῷ αὐτῷ οἰκήματι οἰκῶσιν οὗ ἄνθρωπός τις τὴν νόσον πάσχῃ καὶ ἐὰν πάντες πλὴν τούτου ὑγιαίνωσιν.

πολλοὶ δὲ πολῖται, ἄλλοθί τε καὶ ἐν ταῖς μεγαλοπόλεσιν, κόρον ἔχοντες τούτου νεωστὶ μὲν ἐνίστασθαι ἤρξαντο, ἐν δὲ ταῖς ἀγυιαῖς ἁμίλλας πρὸς τοὺς φύλακας ἔχουσιν ἄνεσιν αἰτοῦντες ταύτης τῆς Covid-0 τακτικῆς.

τέλος δὲ οἱ ἄρχοντες τοιούτους νόμους νῦν ἀνιέναι ἄρχονται, ἀλλὰ ἴσως τοῦτο ἱκανόν οὐκ ἔσται ἵνα ἡ δημοσία δυσαρέστησις μειῶται.

## Γερμανία

**7 Δεκεμβρίου 2022**




Οἱ φύλακες συνέλαβον τήμερον ἐν τῇ Γερμανίᾳ πέντε καὶ εἴκοσιν ἀνθρώπους ἅτε ἑταίρους ὄντας τρομοκρατικῆς τινὸς ἑταιρείας ἣ ἐν νῷ εἶχε τὴν ἀρχὴν βίᾳ ἀναρπάζειν· κατὰ δὲ τὸν τῆς ἀρχῆς φερέφωνον τούτων τῶν ἀνθρώπων πάντες Γερμανοὶ πολῖταί εἰσι πλὴν ἑνὸς ὃς τυγχάνει Ῥωσικὸς ὤν.

κατὰ τὸ ἄγγελμα τῇ Γερμανικῇ ἀρχῇ ἐν τῇ ἑαυτῆς ἠλεκτρονικῇ σελίδι γεγραμμένον αὕτη ἡ ἑταιρεία τῷ μὲν Νοεμβρίῳ τοῦ 2021ου ἔτους ἐκτίσθη, συμφωνεῖ δὲ τῷ τε τῆς ἐσχάτης δεξιᾶς νοήματι καὶ τοιαύταις γνώμαις οἵαις οἱ τοῦ QAnon νεωτερισμοῦ ἐπαμύνουσιν.

καὶ εἰ ὁ ἀληθὴς ἐπαναστάσεως τινὸς  κίνδυνος μικρότατος ἦν, οἱ φύλακες εἶπον ὅτι ἔτι

πλείονας ταύτης τῆς ἑταιρείας (ἧς τὸ ὄνομα οὐ γιγνώσκομεν) ἀνθρώπους συλλήψονται, δεῖ γὰρ σαφῶς τὸ νουθέτημα πέμπειν ὅτι οἱ τοιαύτας κακουργίας ἐν τῇ Γερμανίᾳ μηχανώμενοι οὔποτε εὖ πράξουσιν.

## Κατάρ

**11 Δεκεμβρίου 2022**



Ἤδη ἔχομεν τὰς τέτταρας βελτίστας ὁμάδας τῶν τούτου τοῦ παγκοσμίου πρωταθλήματος μετεχουσῶν· τὴν Κροατίαν καὶ τὴν Ἀργεντίνην καὶ τὴν Γαλλίαν καὶ τὸ Μορόκο· οὐδενὶ δὲ θαῦμα παρέχει τὸ τὰς τρεῖς πρώτας ὁμάδας εἰς τοὺς ἡμιτελευταίους ἀγῶνας ἀφικέσθαι, ἡ μὲν γὰρ Ἀργεντίνη καὶ ἡ Γαλλία ἤδη ἐν ἄλλοις ἀγῶσι τὸ τρόπαιον ἠνέγκοντο, ἡ δὲ Κροατία τῷ 2018ῳ ἔτει δευτέρα ἐγένετο (ὑπὸ τῆς Γαλλίας νικηθεῖσα), ἀλλὰ οἱ τοῦ Μορόκο ποδοσφαιρισταὶ ("οἱ τοῦ Ἄτλαντος λέοντες" καλούμενοι) πάντας ἀπροσδοκήτους κατειλήφασιν, οὔποτε γὰρ τὸ πρότερον Ἀφρικανή τις ὁμὰς οὕτω πόρρω ἀφῖκτο.

νῦν δὲ τῇ μὲν Τρίτῃ ἡμέρᾳ ἡ Ἀργεντίνη καὶ ἡ Κροατία ἀγωνιοῦνται πειρώμεναι εἰς τὸν τελευταῖον ἀγῶνα ἀφίκεσθαι, τῇ δὲ Τετάρτῃ ἡ Γαλλία καὶ τὸ Μορόκο, ἔπειτα δὲ τῇ Κυριακῇ αἱ νικήσασαι ὁμάδες τὸν ὑψηλότατον στέφανον κτᾶσθαι πειράσονται.

## Κατάρ

**14 Δεκεμβρίου 2022**



Αὖθις περὶ τοῦ Κατὰρ γράφειν δεῖ, οὐδὲ περὶ τοῦ παγκοσμίου πρωταθλήματος νῦν ἐκεῖ γιγνομένου (καὶ εἰ σύνδεσμόν τινα ἔχειν δύναιτο ἄν), νῦν δὲ τὸ νέον πρᾶγμα ἡμᾶς πρὸς τὰς Βρυξέλλες κομίζει.

τί δὲ ἐγένετο; λέγεται ὅτι τὸ Κατὰρ πολλοὺς τῆς Εὐρωπαικῆς Βουλῆς βουλευτὰς πολλάκις ἐδέκαζεν ἵνα τῶν ἐκεῖ γιγνομένων βουλευμάτων ῥοπὴν ἔχοι, κατὰ μὲν γὰρ τοὺς δημοσιογράφους τὸ Κατὰρ τοῖς οὕτω καλουμένοις Εὐρωβουλευταῖς τοιαῦτα δῶρα οἶα πορείας τε καὶ ἐν τιμιωτάτοις πανδοκείοις ἐπιδημίας παρεῖχεν, κατὰ δὲ τοὺς τῆς Ε. Βουλῆς νόμους, ὁπόταν βουλευτής τις ἀλλοτρίοις τέλεσι πορεύηται, ἀναγκαῖόν ἐστι τοῖς τῆς Βουλῆς ἐπιστάταις δεικνύναι, ὃ πολλάκις οὐκ ἐγένετο.

καὶ δὴ καὶ εἰς τὸ Κατὰρ ἀφικόμενοι εὐμενῆ πρὸς τὴν τῆς χώρας πολιτικὴν ἀγγέλματα ἤγγελλον ἃ οἱ ἐκεῖ δημοσιογράφοι ἐξέφερον ὥσπερ κύρια τῆς Ε. Βουλῆς ἀγγέλματα ὄντα (καίπερ τῷ ὄντι ἴδια ὄντα).

## Περοῦ

**17 Δεκεμβρίου 2022**



Μεγάλη ταραχὴ γίγνεται νῦν ἐν τῷ Περοῦ ἐξ οὗ ἡ τῆς χώρας βουλὴ τὸν πρόεδρον Καστίλλο

ἐκ τῆς ἀρχῆς ἐξέβαλεν, πολλοὶ δὲ ξένοι περιηγηταὶ ταύτην τὴν κατάστασιν ἄκοντες πάσχουσιν, πολλοὶ γὰρ ἐν τοῖν δυοῖν κεφαλαίοιν τῆς χώρας περιηγητικοῖν κέντροιν ἔτυχον ὄντες τῆς πολιτικῆς ἐπαναστάσεως γιγνομένης· ἐν τῇ τε πόλει Κούθκο καὶ τῷ ἀρχαιολογικῷ τόπῳ Μάζου Πίζου.

οἱ μὲν σιδηρόδρομοι οἳ τὸν Μ. Π. καὶ τὴν πόλιν Κούθκο συνάπτουσιν ἄπονοι μένουσιν, πολλοῖς δὲ τῶν περιηγητῶν ἐν τῷ Μ. Π. κειμένων ἔδοξε τὰ ὀγδοήκοντα χιλιόμετρα ἐν τῷ μεταξὺ κείμενα τὰ σκεύη ἕλκουσι βαδίζειν ἵνα εἰς τὸ Κούθκο ἀφίκοιντο.

ὅμως δὲ ἐν τῷ Κούθκο ὁ μὲν ἀερολιμὴν κεκλεισμένος κεῖται, οἱ δὲ ἐκεῖσε ἀφικόμενοι ἐκεῖ μένοντες ἐλπίζουσι τοῦ ἀερολιμένος αὖθις ἀνεῳγμένου πρὸς τὴν πρωτεύουσαν Λίμα πέτεσθαι καὶ ἐκεῖθεν ἐκ τῆς χώρας ἐξιέναι δυνήσεσθαι.

## Γερμανία

**23 Δεκεμβρίου 2022**



Προχθὲς Γερμανὸς πολίτης ὃς τῇ Γερμανικῇ Κατασκοπείας Ὑπηρεσίᾳ εἰργάζετο καθείρχθη ἅτε ὑπὲρ τῆς Ῥωσίας κατασκοπῶν· κατὰ μὲν τὸν τῆς Γ. Κ. Υ. φερέφωνον οὗτος ὁ πολίτης, οὗ τὸ ὄνομα Carsten L. ἐστίν, προδοσίας αἴτιός ἐστι καὶ ἀπόρρητά τινα (ὁποῖα λέγειν οὐκ ἐβουλήθη) τῇ ἀντιρρόπῳ Ῥωσικῇ Κατασκοπείας Ὑπηρεσίᾳ ἑκὼν ἔδωκεν, χθὲς δὲ τῇ Πέμπτῃ εἰς τὸ δεσμωτήριον ἐπέμφθη, οὗ μενεῖ ἕως ἂν εἰς δικαστήριον ἄγηται.

ὁ δὲ τῆς Γ. Κ. Υ. πρόεδρος, Bruno Kahl, οὐ βουλόμενος δημοσίοις ἀγγέλμασιν ὠφελείαν τινὰ ἄκων τῇ Ρ. Κ. Υ. παρέχειν, πλείονα λέγειν ἀπῶσεν.

καὶ δὴ καὶ εἰδέναι δεῖ ὅτι τοιοῦτο τὸ πρᾶγμα νεωστὶ οὐ τὸ πρῶτον γίγνεται, τῇ γὰρ 18ῃ τῆς

Νοεμβρίου Γερμανός τις τῶν ἐπιτάκτων λοχαγὸς κατεγνώσθη ἅτε ὑπὲρ τῆς Ῥωσίας κατασκοπῶν.

## ΗΑΠ

**26 Δεκεμβρίου 2022**



Μέγιστον τε καὶ δεινότατον κῦμα ψύχους νῦν ἐπὶ τὰς ΗΑΠ καταπέπτωκεν, ἐν γὰρ πολλοῖς τῆς χώρας μέρεσιν οἱ πολῖται τοιοῦτο ψῦχος τυγχάνουσι πάσχοντες οἷον οὐδέποτε τὸ πρότερον· καὶ δὴ καὶ εἴκοσι καὶ πέντε ἄνθρωποι ἀπέθανον διὰ τὸ ψῦχος, οἱ πλεῖστοι αὐτῶν αὐτοκινητικὰ ἀτυχήματα παθόντες τοῦ πάγου τὰς ὁδοὺς ἐπικαλύπτοντος.

ἐν δὲ τοῖς ἀερολιμέσι ταραχὴ γεγένηται, νῦν γὰρ τούτων ἀπράκτων ἡμερῶν πολλοὶ πολῖται ἄνω καὶ κάτω τῆς χώρας πορεύονται ἵνα τοῖς ἑαυτῶν γενέταις συνέλθωσιν, ἀλλὰ τοσαύτη χιὼν κατέπεσεν ὥστε δεδέηται πολλὰς πτήσεις ἀκυρῶσαι, χίλιοι δὲ ἄνθρωποι ἐν τοῖς ἀερολιμέσι μένοντες οὐκ ἴσασιν ὁπότε ἐξέσται αὐτοῖς πέτεσθαι.

## Βρασιλία

**30 Δεκεμβρίου 2022**



Χθὲς ἀπέθανεν ὁ ἐνδοξότατος Βρασιλιάνος ποδοσφαιριστὴς Πελέ, ὁ οὕτω καλούμενος "O Rei" (ὁ Βασιλεύς), ὀγδοήκοντα καὶ δύο ἔτη γεγονώς· τῷ δὲ ὄντι "Πελὲ" ψευδὲς ὄνομα ἦν (οἱ

πλεῖστοι τῶν ἀνθρώπων τὸ ἀληθὲς ὄνομα οὐδέποτε ἀκηκόασιν), ἀλλὰ ἐκ παιδὸς πάντες οὕτως αὐτὸν ἐκάλουν. ὁ Πελὲ τρὶς ἐν τῷ παγκοσμίῳ πρωταθλήματι ἐνίκησεν· τοῖς 1958ῳ καὶ 1962ῳ καὶ 1970ῳ ἔτεσιν (τῷ 1958ῳ ἔτει ἐνίκησε μόνον ἑπτακαίδεκα ἔτη γεγονώς).

## Σίνα

**31 Δεκεμβρίου 2022**



Τοῦ νόσου Covid-19 ἐν τῇ Σίνῃ σκεδαννυμένης ἡ Εὐρωπαικὴ Ἕνωσις ἐπισκοπεῖ νῦν πότερον δεῖ τοὺς ἀπὸ ταύτης τῆς χώρας ἀφικνουμένους τεκμήριόν τι παραιτεῖσθαι τοῦ τὴν νόσον μὴ πάσχειν ἢ οὔ· παραδείγματος ἕνεκα, ἐν τῇ Ἰταλίᾳ ἀναγκαῖόν ἐστι νῦν τὸ τεκμήριον δεῖξαι, ἄλλαι δὲ χῶραι τὸ αὐτὸ ποιεῖν βουλεύουσιν.

## Βρασιλία

**3 Ἰανουαρίου 2023**



Ὁ Λοῦλα προχθὲς τῆς Βρασιλίας πρόεδρος τὸ τρίτον ἐγένετο (ἤδη γὰρ δὶς ἐγεγόνει), ἀλλὰ ὁ Βολσονάρο τῇ παρασκευῇ οὐ παρῆν, πρὸς γὰρ τὰς ΗΑΠ ἔπτετο ἵνα μὴ παρείη· τοῦτο δὲ οὐδέποτε τὸ πρότερον ἐγεγένητο, κατὰ γὰρ τὸ ἦθος ὁ πρόσθιος πρόεδρος ἀεὶ τῇ παρασκευῇ πάρεστιν ἵνα τὸν νέον μακαρίζῃ, τοιαύτην οὖν ἀποδημίαν πολλοὶ ἐμέμψαντο.

νῦν δὲ διπλοῦν πρόβλημα πρὸ τοῦ Λοῦλα κεῖται, ἥ τε πενία καὶ ἡ νόσος Covid, οἱ δὲ πολῖται ἐλπίζουσιν αὐτὸν τὰ τοῦ Βολσονάρο σφάλματα μὴ ἐπαναλήψεσθαι.

## Ρωσία

**3 Ἰανουαρίου 2023**



Ἐν τῷ τῆς Οὐκραίνας πολέμῳ διαμένει ἡ διαλεκτικὴ ἅμιλλα, τῆς γὰρ Οὐκραίνας πύραυλα χθὲς πρὸς τὴν Δόνεζκ ἀνείσης κατὰ μὲν τὴν Ῥωσίαν ἑξήκοντα καὶ τρεῖς Ῥωσικοὶ στρατιῶται ἀπέθανον, κατὰ δὲ τὴν Οὐκραίναν τετρακόσιοι.

ἡ τοῦ πολέμου κατάστασις νῦν ἀμφιδήριτος μένει, οὐδετέρου τῶν μαχομένων τὴν ὑστάτην νίκην κτᾶσθαι δυναμένου.

## Οὐκραίνα

**6 Ἰανουαρίου 2023**



τοῦ Ποῦτιν σπονδὰς ἀγγείλαντος, ὁ ἐν τῇ Οὐκραίνᾳ πόλεμος οὐδαμῶς διεπαύσατο, ὃ πάντες

γενησόμενον ᾔδεσαν, ἐξ ἀρχῆς γὰρ εἶπον πάντες ὅτι τοῦτο τὸ ἄγγελμα μόνον πρόφασις εἴη ἵνα τὸ Οὐκρανικὸν στράτευμα ἀνάπαυσίν τινα τῷ Ῥωσικῷ παρέχοι.

ἡ τῶν σπονδῶν πρόφασις ἥδε ἦν, ὅτι οἱ στρατιῶται τὴν ὀρθοδόξην Χριστοῦ γέννησιν ἄγειν δύναιντο· ὅμως δὲ τὸ Ῥωσικὸν στράτευμα αὐτό, τοῦ ἀγγέλματος γενομένου, ταχέως παρεσπόνδησεν.

## Ἡνωμένον Βασίλειον

**7 Ἰανουαρίου 2023**



τὸ κῦμα τὸ ἀπεργιῶν ὃ ἐπὶ τὸ Ἡνωμένον Βασίλειον κατέπεσεν ἔτι καὶ νῦν διαμένει, ἡ δὲ κατάστασις τοῖς διὰ τῆς χώρας πορεύεσθαι βουλομένοις χαλεπωτάτη κεῖται· καὶ δὴ καὶ οὐ μόνον οἱ ἐν τοῖς σιδηροδρόμοις ἐργαζόμενοι ἀπεργάζουσιν ἀλλὰ καὶ οἱ ἐν τοῖς νοσοκομείοις.

τούτων οὕτως ἐχόντων ὁ πρωθυπουργὸς νόμον παρασκευάζειν προὔθηκε καθ' ὃν τοιαῦται ἀπεργασίαι παράνομοι εἶεν ἄν, ἀλλὰ αἱ τῶν ἐργαστῶν ἑταιρεῖαι ἤδη τοιοῦτο βούλευμα ἔψεξαν ὡς βάσκανον ὄν.

## Βρασιλία

**13 Ἰανουαρίου 2023**



Καὶ εἰ πάντες εἶπον ὅτι ὁ κίνδυνος ἤδη ἀφανισθείη, τῷ ὄντι ἔτι καὶ νῦν μένει, οἱ γὰρ τῷ Βολσονάρῳ ἐπικουροῦντες δευτέραν πεῖραν παρεσκεύασαν ἵνα τὴν ἀρχὴν βίᾳ λάβοιεν· οἱ μὲν φύλακες ταύτην τὴν νέαν πεῖραν γενησομένην διὰ τοῦ διαδικτύου ᾔσθοντο, οἱ γὰρ “Βολσοναρισταὶ“ καλούμενοι ἀλλήλοις ἀγγέλματα ἔπεμπον ἐποτρύνοντες ἵνα τά τε τῶν πόλεων κέντρα καὶ τὰς κεφαλαίας ὁδοὺς κατέχοιεν, φοβουμένη δὲ μὴ ἄλλη πεῖρα γένοιτο ἡ ἀρχὴ τοὺς φύλακας ἐκέλευσε τὰς τῶν πολιτῶν συναγωγὰς κωλύειν.

## Ἰρᾶν

**13 Ἰανουαρίου 2023**



Ἡ τοῦ Ἰρᾶν ἀρχὴ προτέρου τινὸς τῆς ἀμύνης ὑπουργοῦ (1997-2005), τοῦ Ἀλιρέθα Ἀκβάρι, θάνατον κατέγνω ὡς ὑπὲρ τοῦ Ἡνωμένου Βασιλείου κατασκοποῦντος. ὁ Ἀκβάρι, ὃς τὴν κατηγορίαν παντελῶς κακῇ τινὶ προφάσει ἀπεικάζει, ἤδη μὲν τὸ τρίτον ἔτος καθείρχθη, τυγχάνει δὲ τήν τε Ἰρανίαν πολιτείαν καὶ τὴν Βρετανικὴν ἔχων, διὰ δὲ τοῦτο ἡ Βρετανικὴ ἀρχὴ εἰς τοῦτο ἑαυτὴν παρενείρασα τὸ Ἰρᾶν αἰτεῖ αὐτὸν ἐλευθερῶσαι.

## Νεπάλ

**15 Ἰανουαρίου 2023**



Ἀεροσκάφος τι τῆς ἑταιρείας Yeti Airlines κατέπεσε τήμερον ἐν τῷ Νεπάλ, λέγεται δὲ ὅτι πάντες οἱ ἐπιβάται (ἑξήκοντα καὶ ὀκτὼ) ἀπέθανον. τὸ μὲν ἀεροσκάφος ἀπὸ τῆς πόλεως Κατμανδοῦ (τῆς τοῦ Νεπὰλ πρωτευούσης) πρὸς τὴν πόλιν Ποκάρα ἐπέτετο, πρὶν δὲ ἐκεῖσε ἀφίκεσθαι εἰς τόπον μόνον ἓν χιλιόμετρον ἀπὸ τοῦ ἀερολιμένος ἀπέχοντα κατέπεσεν (τὴν αἰτίαν οὔπω ἴσασιν), καταπεσὸν δὲ ἐνεπρήσθη.

## Ἰρᾶν

**15 Ἰανουαρίου 2023**



Ὁ Ἀλιρέθα Ἀκβάρι, ἑξήκοντα καὶ ἓν ἔτη γεγονώς, ἀπέθανε χθὲς ὑπὸ τῆς τοῦ Ἰρᾶν ἀρχῆς (κατασκοπείαν αὐτοῦ κατηγόρησαν), νῦν δὲ ἡ Βρετανικὴ ἀρχὴ (ὁ γὰρ Ἀκβάρι οὐ μόνον Ἰράνιος ἀλλὰ καὶ Βρετανὸς πολίτης ἦν) ἐξετάζειν βούλεται ὅ τι δεῖ περὶ τοῦ πυρηνικοῦ προγράμματος τῷ τε Ἡνωμένῳ Βασιλείῳ καὶ τῷ Ἰρᾶν συγγεγραμμένου ποιεῖν· πρὸς δὲ τούτῳ τὸ Η. Β. ἐκέλευσε τὸν ἐν τῷ Ἰρᾶν Βρετανικὸν πρεσβευτὴν ἐπανελθεῖν, καὶ εἰ μόνον εἰς χρόνον τινά.

## Σίνα

**18 Ἰανουαρίου 2023**



Ἡ Σίνα, ἡ πλείστους ἐνοίκους ἐν τῇ οἰκουμένῃ ἔχουσα χώρα, ἀπορεῖ νῦν περὶ τοῦτο, ὀλιγανθρωπίαν γὰρ πάσχει διότι ὁ τῶν ἐνοίκων ἀριθμὸς κατ' ἐνιαυτὸν μειοῦται, ἡ δὲ ταύτης τῆς χώρας οἰκονομία αὐξάνειν δύναται ἐφ' ᾧ καὶ τὸν τῶν ἐνοίκων ἀριθμὸν αὐξάνεσθαι. καὶ εἰ πολλοὶ νομίζουσι τὸν οὕτω καλούμενον “νόμον τοῦ ἑνὸς υἱοῦ“ αἴτιον ταύτης τῆς καταστάσεως εἶναι, τῷ ὄντι ἡ ἀληθὴς αἰτία ἥδε ἐστίν, ὅτι πολλὰ τῶν νέων ζευγῶν, δαπανᾶν οὐ βουλόμενα, εἴτε οὐδένα ἔκγονον ἔχει εἴτε μόνον ἕνα.

## Οὐκραίνα

**18 Ἰανουαρίου 2023**



Ὁ τῶν ἐσωτερικῶν τῆς Οὐκραίνας ὑπουργὸς (ὁ Denys Monastyrsky, ἐν τῇ φωτογραφίᾳ) καὶ ἄλλοι ἑκκαίδεκα ἄνθρωποι ἀπέθανον τήμερον, τὸ γὰρ ἑλικόπτερον ᾧ ἐπορεύοντο κατέπεσεν, ἐγγὺς τῆς πρωτευούσης Κίεβ. καὶ εἰ ἡ χώρα ἐν πολέμῳ κεῖται, λέγεται ὅτι τοῦτο τὸ ἀτύχημα οὐδαμῶς διὰ στρατιωτικήν τινα ἐπίθεσιν ἐγένετο.

## Γαλλία

**21 Ἰανουαρίου 2023**



Ἐν τῇ Γαλλίᾳ πολλοὶ μὲν ἐργασταὶ προχθὲς ἀπεργοὶ ἔμειναν τῷ τῆς ἀρχῆς βουλεύματι ἐνιστάμενοι, οἱ γὰρ ἄρχοντες τὴν συνταξιοδότησιν ἀπὸ τῶν 62 ἐτῶν μέχρι τῶν 64 ἀναβάλλεσθαι προὔθεσαν, ἡ δὲ ἀπεργία μεγάλην ῥοπὴν ἐν τῇ τε διδασκαλίᾳ καὶ τῇ κομιδῇ ἔσχεν· ἄλλοι δὲ τῷ νέῳ νόμῳ ἐπικουροῦσιν, λέγουσι γὰρ ὅτι, τῆς οἰκονομίας τῇ παρούσῃ καταστάσει ἀντέχειν οὐ δυναμένης, αὕτη ἡ μεταβολὴ ἀναγκαία ἐστίν.

## Οὐκραίνα

**21 Ἰανουαρίου 2023**



Οἱ τῆς Οὐκραίνας ἐπίκουροι τὴν Γερμανίαν ἐπὶ πλέον αἰτοῦσι τῇ Οὐκραίνᾳ τὰ τεθωρακισμένα ἅρματα Leopard παρέχειν, ταῦτα γὰρ τὰ ἅρματα ταχέα τε καὶ αὐτοτελῆ ὄντα τῇ Οὐκραίνᾳ ἂν συμπράττοι ὥστε τὸ Ῥωσικὸν στράτευμα ἐκβαλεῖν· ὅμως δὲ καίπερ πάντων τῶν ἐπικούρων τούτῳ προσκειμένων ἡ Γερμανία ἔτι καὶ νῦν ἀρνεῖται τὰ ἅρματα μὴ παρέχειν. ἡ τῆς διαμενούσης ἀποφάσεως αἰτία ἄδηλος μένει.

## ΗΑΠ

**22 Ἰανουαρίου 2023**



Ὁ Buzz Aldrin, ὁ δεύτερος ἄνθρωπος ὃς ἐπι τὴν σελήνην ἐβάδισεν (τῷ 1969ῳ ἔτει), ἀπροσδοκήτως τὸ τέταρτον ἔγημεν. ὁ Aldrin, νῦν ἐνενήκοντα καὶ τρία ἔτη ὤν (τῷ ὄντι τηλικοῦτος ἐγένετο τῇ αὐτῇ τοῦ γάμου ἡμέρᾳ), ἔγημε μὲν γυναῖκα τριάκοντα ἔτη νεωτέραν οὖσαν, εἶπε δὲ ὅτι αὐτός τε καὶ ἡ ἑαυτοῦ ἄκοιτις οὕτως ἄσμενοι εἤσαν ὥσπερ ἂν εἰ παῖδες εἶεν ἀπὸ τοῦ οἴκου ἀποφυγόντες.

## Γερμανία

**25 Ἰανουαρίου 2023**



Πάντων τῶν τῇ Οὐκραίνᾳ ἐπικουρούντων προσκειμένων, ἡ Γερμανία τὰ μὲν ἔνδοξα Leopard τεθωρακισμένα ἅρματα πέμψει, ἐάσει δὲ ἄλλας χώρας τὸ αὐτὸ ποιεῖν (ταῖς γὰρ ἄλλαις χώραις τοιαῦτα ἅρματα ἐχούσαις οὐκ ἔξεστι αὐτὰ πρὸς ἄλλας χώρας πέμπειν ἐὰν ἡ Γερμανία, ἡ χώρα παρὰ ἧς τὰ ἅρματα ἐπρίαντο, τοῦτο μὴ ἐᾷ)· καὶ δὴ καὶ αἱ ΗΑΠ ἄλλα ἅρματα πέμψει, Abrams καλούμενα.